τοῦτο κύριος κληρονομήσει αὐτὴν καὶ πατάξει εἰς θάλασσαν δύνα-
5 μιν αὐτῆς, καὶ αὕτη ἐν πυρὶ καταναλωθήσεται. [5]ὄψεται Ἀσκαλὼν
καὶ φοβηθήσεται, καὶ Γάζα καὶ ὀδυνηθήσεται σφόδρα, καὶ Ακκαρων,
ὅτι ᾐσχύνθη ἐπὶ τῷ παραπτώματι αὐτῆς· καὶ ἀπολεῖται βασιλεὺς
6 ἐκ Γάζης, καὶ Ἀσκαλὼν οὐ μὴ κατοικηθῇ. [6]καὶ κατοικήσουσιν ἀλλο-
7 γενεῖς ἐν Ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλοφύλων. [7]καὶ ἐξαρῶ τὸ
αἷμα αὐτῶν ἐκ στόματος αὐτῶν καὶ τὰ βδελύγματα αὐτῶν ἐκ μέσου
ὀδόντων αὐτῶν, καὶ ὑπολειφθήσεται καὶ οὗτος τῷ θεῷ ἡμῶν, καὶ
ἔσονται ὡς χιλίαρχος ἐν Ιουδα καὶ Ακκαρων ὡς ὁ Ιεβουσαῖος.
8 [8]καὶ ὑποστήσομαι τῷ οἴκῳ μου ἀνάστημα τοῦ μὴ διαπορεύεσθαι
μηδὲ ἀνακάμπτειν, καὶ οὐ μὴ ἐπέλθῃ ἐπ᾽ αὐτοὺς οὐκέτι ἐξελαύνων,
διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου.
9 [9]Χαῖρε σφόδρα, θύγατερ Σιων· κήρυσσε, θύγατερ Ιερουσαλημ·
ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι, δίκαιος καὶ σῴζων αὐτός, πραῢς
10 καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. [10]καὶ ἐξολεθρεύσει
ἅρματα ἐξ Εφραιμ καὶ ἵππον ἐξ Ιερουσαλημ, καὶ ἐξολεθρευθήσεται
τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν· καὶ κατάρξει
11 ὑδάτων ἕως θαλάσσης καὶ ποταμῶν διεκβολὰς γῆς. [11]καὶ σὺ ἐν
αἵματι διαθήκης ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος
12 ὕδωρ. [12]καθήσεσθε ἐν ὀχυρώματι, δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ
13 μιᾶς ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι· [13]διότι ἐν-
έτεινά σε, Ιουδα, ἐμαυτῷ τόξον, ἔπλησα τὸν Εφραιμ καὶ ἐπεγερῶ
τὰ τέκνα σου, Σιων, ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων καὶ ψηλαφήσω
14 σε ὡς ῥομφαίαν μαχητοῦ· [14]καὶ κύριος ἔσται ἐπ᾽ αὐτοὺς καὶ ἐξ-
ελεύσεται ὡς ἀστραπὴ βολίς, καὶ κύριος παντοκράτωρ ἐν σάλπιγγι
15 σαλπιεῖ καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. [15]κύριος παντο-
κράτωρ ὑπερασπιεῖ αὐτῶν, καὶ καταναλώσουσιν αὐτοὺς καὶ καταχώ-
σουσιν αὐτοὺς ἐν λίθοις σφενδόνης καὶ ἐκπίονται αὐτοὺς ὡς οἶνον
16 καὶ πλήσουσιν ὡς φιάλας θυσιαστήριον. [16]καὶ σώσει αὐτοὺς κύριος
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς πρόβατα λαὸν αὐτοῦ, διότι λίθοι ἅγιοι

4 αυτην AQScW] -τους BS*LC | παταξει BQScLC] καταξει S*AW | δυναμιν BSWC] pr. την AQL || 5 επι τω(> S*†) παραπτωμ.] απο της ελπιδος AQ | βασιλευς] -λεια A | εκ] απο AQ || 7 αυτων $3^0$] -του A† | οδοντων] οδων S*† | υπολειφθησεται .. ουτος VWpau. = 𝔐] -σονται .. ουτοι rel. | ημων] υμ. S*† || 8 εν > A || 10 αρματα] τοξον S*† | εξολεθρευθησεται] θη > B† | υδατων] + απο θαλασσης ScL: altera uersio eiusdem uerbi, cf. Mich. 7 12 | ποταμων] pr. απο ScLC | διεκβολας] εως -λων ScL || 11 διαθηκης] + σου BSL | δεσμιους] pr. τους AQ || 12 καθησεσθε] -σεται S*†, -σονται pau., και θησονται A(†) | οχυρωμασιν BS || 13 ιουδα εμαυτω] tr. LC | τοξον] pr. εις A, pr. ως L | επεγερω AQW] εξεγ. BSLC || 14 κυριος εσται] tr. A | εσται επ αυτους] επ αυτους οφθησεται L | πορευσεται] σ > C†, -σονται A† || 15 αυτων] -τους BS*† | αυτους $1^0 \frown 2^0$ ScW | αυτους ult. BS*Wpau.] το αιμα αυτων rel. | ως ult. AQWL] τας BSC | φιαλας] ελαιας W(†) | θυσιαστ. AQW] pr. το L(†), pr. ως BSC || 16 κυριος AQW] + ο θεος αυτων BSLC

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/558 UNIVERSITÄT LEIPZIG